ἅπτειν ξύλινον δόμον. ἔκ[λα]γον δὲ
παρθένοι, φίλας τ᾽ ἀνὰ ματρὶ χεῖρας
ἔβαλλον· ὁ γὰρ προφανὴς θνα-
τοῖσιν ἔχθιστος φόνων·
ἀλλ᾽ ἐπεὶ δεινοῦ πυρὸς
λαμπρὸν διάϊ[σσεν μέ]νος,
Ζεὺς ἐπιστάσας [μελαγκευ]θὲς νέφος
σβέννυεν ξανθὰ[ν φλόγα.

Ε′ ἄπιστον οὐδέν, ὅ τι θ[εῶν μέ]ριμνα
τεύχει· τότε Δαλογενὴ[ς Ἀπό]λλων
φέρων ἐς Ὑπερβορέο[υς γ]έροντα
σὺν τανισφύροις κατ[έν]ασσε κούραις
δι᾽ εὐσέβειαν, ὅτι μέ[γιστα] θνατῶν
ἐς ἀγαθέαν ⟨ἀν⟩έπεμψε Π[υθ]ώ.
ὅσο[ι] ⟨γε⟩ μὲν Ἑλλάδ᾽ ἔχουσιν, [ο]ὔτι[ς,
ὦ μεγαίνητε Ἱέρων, θελήσει
φάμ]εν σέο πλείονα χρυσὸν
Λοξί]αι πέμψαι βροτῶν.
εὖ λέ]γειν πάρεστιν, ὅσ-
τις μ]ὴ φθόνωι πιαίνεται,
.....]λη φίλιππον ἄνδρ᾽ ἀρήϊον
....]ίου σκᾶπτρον Διός

F′ ἰοπ[λό]κων τε μέρο[ς ἔχοντ]α Μουσᾶν·